τὴν μωρίαν ποιουμένους· ἀλλ' ὁμοίως ἁπάντων θάνατον κατα-
κρίνοντας, καὶ νομίζοντας δίκαιον εἶναι τοὺς τοῖς αὐτοῖς ἔργοις ἐπι-
χειροῦντας, ταῖς αὐταῖς ζημίαις κολάζειν. χρὴ τοίνυν καὶ περὶ ὕ-
βριζόντων, τὴν αὐτὴν γνώμην ἔχειν· καὶ μὴ τοῦτο σκοπεῖν, εἰ μὴ
σφόδρα συνεκόπησαν· ἀλλ' εἰ τὸν νόμον παρέβησαν· μηδ' ὑπὲρ
τοῦ τυχόντος μόνον· ἀλλ' ὑπὲρ παντὸς τοῦ τρόπου, δίκην παρ'
αὐτῶν λαμβάνειν· ἐνθυμουμένους, ὅτι πολλάκις ἤδη μικραὶ
προφάσεις, μεγάλων κακῶν αἴτιαι γεγόνασιν· καὶ διότι πολλοὶ
τῶν πολιτῶν, διὰ τοὺς ἤδη τολμῶντας, εἰς τοῦτ' ὀργῆς προ-
ήχθησαν· ὥστε εἰς τραύματα καὶ σφαγὰς καὶ θανάτους, καὶ τὰς
μεγίστας συμφορὰς ἐλθεῖν, ὧν οὐδὲν διὰ τοὺς φεύγοντας τὴν δίκην,
αἴτιόν τουτ' ἐστιν· ἀλλὰ κατὰ μικρὸν τοῦτο μέρος, ἅπαντα τὰ προειρη-
μένα πέπρακται. διὰ δὲ τὴν τύχην, καὶ τὸν τρόπον τὸν ἐμόν,
οὐδὲν τῶν ἀνηκέστων συμβέβηκεν. ἡγοῦμαι δ' ὑμᾶς, οὕτως
ἄν, ἀξίως ὀργισθῆναι περὶ τοῦ πράγματος, εἰ διεξέλθοιτε πρὸς
ὑμᾶς αὐτούς, ὅσῳ μεῖζόν ἐστι τοῦτο, τῶν ἄλλων ἀδικημάτων.
εὑρήσετε γὰρ τὰς μὲν ἄλλας ἀδικίας, μέρος τι τοῦ βίου βλάπτου-
σας, τὴν δὲ ὕβριν, ὅλοις τοῖς πράγμασι λυμαινομένην· καὶ πολ-
λοὺς μὲν οἴκους, διὰ ταύτην διαφθαρέντας, πολλὰς δὲ πόλεις
ἀναστάτους γενομένας. καὶ τί δεῖ τὰς τῶν ἄλλων συμφορὰς
λέγοντα διατρίβειν· αὐτοὶ γὰρ ἡμεῖς, δὶς ἤδη τὴν δημοκρατίαν
ἐπείδομεν καταλυθεῖσαν· καὶ δὶς τῆς ἐλευθερίας ἀπεστε-
ρήθημεν, οὐχ ὑπὸ τῶν ταῖς ἄλλαις πονηρίαις ἐνόχων ὄντων·
ἀλλὰ διὰ τοὺς καταφρονοῦντας τῶν νόμων, καὶ βουλομένους τοῖς
μὲν πολεμίοις δουλεύειν, τοὺς δὲ πολίτας ὑβρίζειν· ὧν εἷς ἐστιν
οὗτος· καὶ γὰρ εἰ τῶν τότε κατελθόντων, νεώτερός ἐστιν, ἀλλὰ
τόν γε τρόπον, ἔχει τὸν ἐξ ἐκείνης τῆς πολιτείας· οὗτοι γάρ εἰσιν
οἱ φύσει, οἳ παραδοῦναι μὲν τὴν δύναμιν τὴν ἡμετέραν, τοῖς

UNIVERSITÄTS-
BIBLIOTHEK
HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_187/0173

The Polonsky Foundation